# 0345-0407 - Iohannes Chrysostomus - De pharisaeo

**This text belongs to the Thesaurus Linguae Graecae (TLG®), a Research Center at the University of California, Irvine, which digitized it and owns the relevant ©Copyright. On May 15, 2008, Prof. M. Pantelia, the Director of the Center, has expressly authorized www.documentacatholicaomnia.eu to post it into our site. Cooperatorum Veritatis Societas thanks the prof. Pantelia, the Center, and the University of California, Irvine, of having granted the opportunity to make publicly available this text of high quality, serial number '2062 243 '.**

Charset and format of the text have been changed in order to make it possible the computation of analytic indexes and concordances. Analytical indexes and concordances have been made by the Cooperatorum Veritatis Societas.

De pharisaeo

[00001] Εἰς τὸν Φαρισαῖον ὁμιλία.

59.589

[00002] Ὥσπερ πατὴρ φιλότεκνος προσομιλεῖν τοῖς ἑαυτοῦ φιλτάτοις ὑπὸ τῆς οἰκείας ἀγάπης ἑλκόμενος, καὶ ὄντων νηπίων μὴ δυναμένων ἀκούειν τελείων ῥημάτων διὰ τὸ νηπιῶδες τῆς ἕξεως, ὁ πατὴρ ὑπαλλάξας τὴν φωνὴν, καὶ τὸ τροχαλὸν τῆς εὐγλωττίας ἀποθέμενος, ψελλίζειν αὐτοῖς ἄρχεται, ἐκ τοῦ λέγειν καὶ ἀκούειν πρὸς μείζονα ῥημάτων κατάληψιν τοὺς φιλτάτους ἑαυτοῦ ἐνάγων·

[00003] τὸν αὐτὸν τρόπον καὶ ὁ Κύριος ἡμῶν διὰ πολλὴν τὴν περὶ τὸ ἴδιον πλάσμα ἀγάπην Θεὸς Λόγος ὑπάρχων, ἀνθρώπινον λόγον ἀναλαβὼν ἐλήλυθε πρὸς ἡμᾶς, ἵνα ἐκ τοῦ [59.590] ὁμιλεῖν αὐτὸν καὶ συνδιατρίβειν, οὐράνιον ἀποκάλυψιν ἐπιδείξας ἐπὶ τὴν οὐράνιον κλίμακα, τουτέστιν, τῆς ἐλπίδος, ἡμᾶς ὁδηγήσῃ.

[00004] Καλεῖται γοῦν εἰς ἄριστον ὑπὸ Φαρισαίου, ὡς ἀρτίως ἠκούσαμεν τοῦ Εὐαγγελίου κηρύττοντος, καὶ οὐκ ἀποστρέφεται τὸν καλοῦντα·

[00005] οὐ γὰρ ἦλθε τὸ ἀξίωμα τῆς θεότητος αὐτοῦ δεῖξαι, ἀλλὰ τὴν πεπτωκυῖαν ἀνθρωπότητα ἐκ τῶν καταχθονίων ῥύσασθαι.

[00006] Καλεῖται εἰς ἄριστον ὑπὸ Φαρισαίου, καὶ οὐ παραιτεῖται, ἵνα καὶ πλουσίους παιδεύσῃ μὴ ὑπερορᾷν τραπέζας πενήτων, καὶ δικαίους διδάξῃ μὴ διαπτύειν τραπέζας ἁμαρτωλῶν.

[00007] [59.591] Πολλοὶ γὰρ παρ' ἑαυτοῖς δοκοῦντες εἶναι δίκαιοι, καταπτύουσι τραπέζας ἁμαρτωλῶν, καὶ οἱ πλούσιοι τῶν πενήτων.

[00008] Βουλόμενος γὰρ ὁ Κύριος πάντας εἶναι φιλτάτους, φιλαδέλφους, ἀγαπητικοὺς, ταπεινόφρονας, πρῶτος ἄρχεται τοῦ ἔργου, ἵνα ἐκ τοῦ ποιῆσαι διδάξῃ.

[00009] Διὸ λέγει·

[00010] Μάθετε ἀπ' ἐμοῦ, ὅτι πρᾷός εἰμι, καὶ ταπεινὸς τῇ καρδίᾳ.

[00011] Σὺ οὖν ὁ ἐν εὐλαβείᾳ ἀσκούμενος, ὁπόταν κληθῇς ὑπό τινος ἁμαρτωλοῦ, μὴ παραιτήσῃ·

[00012] κἂν ὀνειδίζῃ ὑπό τινος λέγοντος, Διὰ τί μετὰ ἁμαρτωλῶν ἐσθίεις καὶ πίνεις;

[00013] ἀνταποκρίθητι λέγων·

[00014] Οὐ χρείαν ἔχουσιν οἱ ὑγιαίνοντες ἰατροῦ, ἀλλ' οἱ κακῶς ἔχοντες.

[00015] Δίκαιος γάρ εἰμι, οὐχ ἵνα δικαίους σώσω, ἀλλὰ ἁμαρτωλοὺς ἐπιστρέψω.

[00016] Καλεῖται εἰς ἄριστον ὁ Κύριος, καὶ οὐ παραιτεῖται, ὁ ἐκ πέντε ἄρτων πέντε χιλιάδας εἰς κόρον διαθρέψας ἐν τῇ ἐρήμῳ, ὁ τὴν ἀπόρευτον καταξηράνας θάλασσαν, καὶ καθάπερ διὰ χλοηφόρου πεδίου τῆς θαλάσσης τὸν Ἰσραὴλ διαγαγὼν, ὁ οὐρανόθεν αὐτοῖς τὸ μάννα ἐπομβρίσας, καὶ ὅλην τὴν ἡμέραν ἐκ τῆς λαμπρότητος τοῦ μάννα χιόνας.

[00017] Καλεῖται εἰς ἄριστον ὁ Κύριος, καὶ οὐ παραιτεῖται, ἐν τοῖς ἀρίστοις τὰ ἄριστα τῶν μαθημάτων τοὺς καλοῦντας αὐτὸν ἐκδιδάσκων·

[00018] ἀπέρχεται γὰρ εἰς ἄριστον, οὐχ ἵνα τῶν Φαρισαίου βρωμάτων ἐμφορηθῇ, ἀλλ' ἵνα ὁ Φαρισαῖος τῶν τοῦ Κυρίου διδαγμάτων ἐμπλησθῇ.

[00019] Καλεῖται εἰς ἄριστον, καὶ ἔρχεται εἰς οἶκον τοῦ Φαρισαίου, καλύπτων τὴν θεότητα ἀνθρωπότητι, ἵνα μὴ ἄφνω θεασάμενος τὴν ἐξαστράπτουσαν αἴγλην τῆς θεότητος, φύγῃ ἐκ τοῦ οἴκου ὁ καλέσας τὸν Δεσπότην.

[00020] Εἰσέρχεται εἰς τὸν τοῦ Φαρισαίου οἶκον, ὁ οὐράνιος βασιλεὺς πρὸς τὸν αἰχμάλωτον, καὶ καλύπτει τὸ βασιλικὸν ἀξίωμα τῷ δερματίνῳ καταφράκτῳ τῆς σαρκὸς, ἵνα μὴ θεωρήσας τὸν οὐράνιον βασιλέα τρομάξῃ ὁ αἰχμάλωτος, καὶ εἰς γῆν καταδύσῃ.

[00021] Εἰσέρχεται εἰς τὸν τοῦ Φαρισαίου οἶκον ὁ Ἥλιος τῆς δικαιοσύνης, τὰς χρυσαυγαζούσας τῶν ἀκτίνων λαμπηδόνας καλύπτων τῇ νεφέλῃ τοῦ σώματος, ἵνα μὴ θεωρήσας ὁ ἄνθρωπος, ἀπολέσῃ τὴν ὅρασιν.

[00022] Εἰσέρχεται εἰς τὸν οἶκον τοῦ Φαρισαίου ὁ οὐράνιος ποιμήν·

[00023] ἐάσας ἐπὶ τῶν ὀρέων τὰ ἐνενήκοντα ἐννέα πρόβατα, ἔρχεται ἐπὶ τὸ ἀπολωλός·

[00024] εἰσέρχεται εἰς τὴν μάνδραν αὐτοῦ καλύπτων τὸν ποιμένα ἐν τῷ ἀρνείῳ τοῦ σώματος.

[00025] Οὐ βακτηρίαν ἐπιφέρεται, οὐ ῥάβδον ἀπειλοῦσαν τὴν προτέραν πλάνην, ἵνα μὴ δειλιάσαν καὶ πτοηθὲν τὸ πρόβατον πάλιν ἀποδράσῃ τοῦ

[00026] Επιτρέπετα

[00027] ἰδίου ποιμνίου·

[00028] ἀλλ' εἰσέρχεται εἰς τὸν οἶκον τοῦ Φαρισαίου, οὐχ ὡς Θεὸς, οὐχ ὡς βασιλεὺς, οὐχ ὡς Ἥλιος δικαιοσύνης, ἀλλ' ὡς ἄνθρωπος πρὸς ἄνθρωπον, ὡς ἀρνίον πρὸς ἀρνίον.

[00029] Συνδιαιτᾶται αὐτῷ, συννέμεται, συγκαθέζεται, εἰσέρχεται, συναναπίπτει τῷ ἤδη πεπτωκότι ὑπὲρ τὴν ἁμαρτίαν, ἵνα ἐν τῷ συναναπεσεῖν αὐτῷ τὸν ἤδη πεπτωκότα συνανεγείρῃ.

[00030] Καὶ εἰσελθὼν οὐκ ἐβαπτίσθη κατὰ τὸ ἔθος τῶν Φαρισαίων.

[00031] Τοῦτο δὲ ἐποίει κατὰ δύο τρόπους, ἵνα δώσῃ ἀφορμὴν τῷ προβάτῳ λαλεῖν πρὸς τὸν ποιμένα·

[00032] ἔτι δὲ καὶ δόγμα Ἰουδαϊκὸν καταλύσῃ, καὶ βεβαιώσῃ πνευματικόν.

[00033] Εἶδε γὰρ, φησὶν, ὁ Φαρισαῖος, καὶ ἐθαύμασεν, ὅτι οὐ πρῶτον ἐβαπτίσθη, οὐκ ἐπαινῶν τὸν διδάσκαλον, ἀλλὰ ἀπορῶν τὸ γινόμενον, οὐκ ἐπαινῶν, ἀλλὰ κρίνων.

[00034] Καὶ ἦν ἰδεῖν, ἀγαπητοὶ, τὸν ζωοπλάστην ὑπὸ τοῦ πλάσματος κρινόμενον, καὶ τὸν κεραμέα ὑπὸ τοῦ πηλοῦ διορθούμενον.

[00035] Τοῦτο ἔπασχεν ὁ Φαρισαῖος μὴ θεωρῶν τοῖς κρυπτοῖς ὀφθαλμοῖς τῆς καρδίας τὸν ἔνδοθεν τῶν ἀγγέλων ταξίαρχον.

[00036] Εἰ ἐθεάσατο τοῦτον, προσέπεσεν ἂν τοῖς [59.592] γόνασι, καὶ τοῖς δάκρυσιν ἔπλυνεν αὐτοῦ τοὺς πόδας, καὶ ἔλεγεν, Ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ.

[00037] Ἔλεγε γὰρ ἄν·

[00038] Σὺ ἐξ οὐκ ὄντων εἰς τὸ εἶναι τὰ πάντα παραγαγών·

[00039] τῷ σῷ λόγῳ οἱ οὐρανοὶ ἐστερεώθησαν, καὶ τῷ πνεύματι τῷ σῷ αἱ δυνάμεις αὐτῶν συνέστησαν.

[00040] Σὺ συνάγεις ὡς εἰς ἀσκὸν ὕδατα θαλάσσης, τιθεὶς ἐν θησαυροῖς ἀβύσσους·

[00041] ἀπὸ σοῦ φοβεῖται πᾶσα ἡ οἰκουμένη.

[00042] Ἀλλ' οὐδὲν τούτων οὔτε ἐννοήσας, οὔτε εἰρηκὼς ἔκρινε τὸν Δεσπότην·

[00043] ὁ δὲ Κύριος πρόφασιν δεδωκὼς, ὥσπερ ἐκείνῃ τῇ Σαμαρείτιδι, ἐκ τοῦ αἰτῆσαι παρ' αὐτῆς ὕδωρ, ἔδωκε καιρὸν τοῦ αἰτῆσαι παρ' αὐτοῦ τὸ οὐράνιον ὕδωρ.

[00044] Ἄρχεται οὖν ὁ Κύριος ἠρέμα ἐπιστρέφειν τὸ πρόβατον, καὶ ἀπὸ τῆς πλάνης ἐπὶ τὴν ἀλήθειαν αὐτὸν χειραγωγεῖν.

[00045] Ἄρτι γὰρ ὑμεῖς, οἱ Φαρισαῖοι, πλύνετε τὸ ἔξω τοῦ ποτηρίου καὶ τοῦ πίνακος·

[00046] τὸ δὲ ἔσωθεν γέμει ἁρπαγῆς καὶ δόλου·

[00047] τουτέστιν, Ὑμεῖς νῦν τὸ μὲν σῶμα καλλωπίζετε, τὰς δὲ ψυχὰς κακίζετε.

[00048] Πῶς δὲ καὶ τέρψῃ, χρυσοῦν ἂν ᾖ τὸ ποτήριον, ὅταν ἔνδον ἔχῃ θανατηφόρον ποτόν;

[00049] Οὐχὶ τοιαῦται αἱ πόρναι, τὰς ὄψεις αὐτῶν τοῖς χρώμασιν ἀνθίζουσαι, τὰς ψυχὰς ἀφανίζουσιν;

[00050] ἢ γὰρ οὐχὶ τὰς ὄψεις αὐτῶν φοίνικι ἐρυθραίνουσαι, εἴδωλον τῆς μελλούσης αὐτὰς ὑποδέχεσθαι φλογὸς οἰκείοις δακτύλοις ἐργάζονται;

[00051] δέον αὐτὰς τῷ αἵματι τοῦ Ἰησοῦ τὰς καρδίας ῥαντίζειν, μᾶλλον δὲ ῥοδίζειν, καὶ τῷ πνεύματι τὰς καρδίας αὐτῶν λευκαίνειν·

[00052] ἵνα τὸ ἄνθος τῆς ψυχῆς ἀστράπτον καθάπερ ῥόδον ἐν κρίνῳ μεμιγμένον ὑπάρχῃ.

[00053] Νῦν δὲ τὰς ὄψεις αὐτῶν ἐκφλογίζουσιν, ἵνα τὰς τῶν νέων καρδίας πρὸς μανίαν ἐκκαύσωσιν.

[00054] Νῦν ὑμεῖς, οἱ Φαρισαῖοι, τὸ ἔξωθεν τοῦ ποτηρίου καὶ τοῦ πίνακος πλύνετε, τὸ δὲ ἔσωθεν ὑμῶν γέμει ἁρπαγῆς καὶ πονηρίας·

[00055] ὡσανεὶ ἔλεγε, Διὰ τί τὸ μὲν σῶμα ὕδατι λούετε, τὰ δὲ πταίσματα ἐν τῷ πνεύματι οὐ λούετε;

[00056] Τολμῶ γὰρ εἰπεῖν, ἀγαπητοὶ, οὐδὲν ὠφεληθήσεται ἄνθρωπος, κἂν τὸ σῶμα πλύνῃ, ἐὰν μὴ πνεῦμα ἔχῃ συνεργὸν, καὶ σύνδρομον τὴν ἐλεημοσύνην.

[00057] Ὥσπερ γὰρ ποτήριον καὶ ἔξωθεν πλυθὲν καὶ ἔσωθεν, μὴ ἔχον δὲ ποτὸν, οὐκ ἂν ἰάσηται τοῦ διψῶντος τὴν ἐπιθυμίαν, ὁμοίως δὲ καὶ πινάκιον·

[00058] οὕτω καὶ ἄνθρωπος, κἂν ἔσωθεν ᾖ πεπλυμένος καὶ ἔξωθεν, οὐ τέρψει τὸν Κύριον, ἐὰν μὴ θρέψῃ τὸν σύνδουλον.

[00059] Διὸ ἐπιφέρει ὁ Κύριος, καὶ λέγει·

[00060] Πλὴν τὰ ἐνόντα, δότε ἐλεημοσύνην·

[00061] καὶ ἰδοὺ πάντα καθαρὰ ἔσται ὑμῖν.

[00062] Πλὴν τὰ ἐνόντα, λέγει·

[00063] οὐ γὰρ τῇ τῶν πολυχρύσων προσκομιδῇ τέρπεται, ὅσον τῇ τῶν ἀδόλων ἀνυποκρίτῳ προσφορᾷ.

[00064] Μὴ ζητήσῃς σὺ ὁ πένης, ὅτι οὐκ ἔχεις χρυσὸν, καὶ ἀργύρου τοσάσδε ὁλκάδας·

[00065] ῥῖψον εἰς τὸ γαζοφυλάκιον ὃ ἔχεις·

[00066] καὶ δύο λεπτὰ δικαιοῖ.

[00067] Μνήσθητι τὸ τῆς χήρας ἐκείνης, ὅτι ἐδικαιώθη ὑπὲρ τοὺς πολυχρύσους.

[00068] Ὁ γὰρ Θεὸς χρήματα οὐκ οἶδε σταθμίζειν, ἀλλὰ συνείδησιν δοκιμάζει.

[00069] Ἡ ἐλεημοσύνη σπίλους ψυχῶν ἀποσμήχει, καὶ μισθοὺς ἀγαθῶν θησαυρίζει·

[00070] ἡ ἐλεημοσύνη ψυχῆς ζωτικὴ χορηγία, ἡ ἐλεημοσύνη τὰς ψυχὰς ἐκλευκαίνει, ἡ ἐλεημοσύνη ψυχῆς παῤῥησία, καλὴ στρατηγία.

[00071] Ῥίψατε χρυσὸν, καὶ λάβετε Κύριον·

[00072] Επιτρέπετα

[00073] δότε ἀργύριον, καὶ λάβετε τὸ ἅγιον·

[00074] σκορπίσατε χαλκὸν, καὶ συνεξελεύσεται αὐτῷ ὁ ἰὸς τῆς ἁμαρτίας·

[00075] δροσίσατε τὴν κάμινον, καὶ δότε ἱμάτια ἵνα λάβητε ἰάματα, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

[00076] Ἀμήν.

[00077] Επιτρέπετα

---

**© 2006 Cooperatorum Veritatis Societas quoad hanc editionem iura omnia asservantur.**

**0345-0407 - Iohannes Chrysostomus - De pharisaeo**

**Litterarum Omnium Conspectus: 112 Litterae, quae repetitae sunt in 5,824 occasionibus**

---

| | | | | | |
|---|---|---|---|---|---|
| α | 0945 | 465 | Α | 0913 | 0 |
| β | 0946 | 24 | Β | 0914 | 1 |
| γ | 0947 | 73 | Γ | 0915 | 0 |
| δ | 0948 | 111 | Δ | 0916 | 0 |
| ε | 0949 | 269 | Ε | 0917 | 10 |
| ζ | 0950 | 23 | Ζ | 0918 | 0 |
| η | 0951 | 83 | Η | 0919 | 0 |
| θ | 0952 | 73 | Θ | 0920 | 3 |
| ι | 0953 | 272 | Ι | 0921 | 0 |
| κ | 0954 | 181 | Κ | 0922 | 18 |
| λ | 0955 | 170 | Λ | 0923 | 1 |
| μ | 0956 | 131 | Μ | 0924 | 3 |

| | | | | | |
|---|---|---|---|---|---|
| ν | 0957 | 478 | Ν | 0925 | 2 |
| ξ | 0958 | 19 | Ξ | 0926 | 0 |
| ο | 0959 | 383 | Ο | 0927 | 3 |
| π | 0960 | 201 | Π | 0928 | 4 |
| ρ | 0961 | 246 | Ρ | 0929 | 0 |
| ς | 0962 | 230 | • | 0930 | 0 |
| σ | 0963 | 195 | Σ | 0931 | 5 |
| τ | 0964 | 458 | Τ | 0932 | 3 |
| υ | 0965 | 95 | Υ | 0933 | 0 |
| φ | 0966 | 31 | Φ | 0934 | 15 |
| χ | 0967 | 59 | Χ | 0935 | 1 |
| ψ | 0968 | 21 | Ψ | 0936 | 0 |
| ω | 0969 | 83 | Ω | 0937 | 0 |
| ῤ | 8164 | 1 | | | 0 |
| ῥ | 8165 | 9 | Ῥ | 8172 | 1 |

| | | | | | | | | | | | | | | | | | | | | |
|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|
| ά | 8049 | 78 | έ | 8051 | 62 | ή | 8053 | 21 | ί | 8055 | 103 | ό | 8057 | 52 | ύ | 8059 | 59 | ώ | 8061 | 11 |
| ὰ | 8048 | 50 | ὲ | 8050 | 20 | ὴ | 80852 | 39 | ὶ | 8054 | 66 | ὸ | 8056 | 84 | ὺ | 8058 | 15 | ὼ | 8060 | 5 |
| ᾶ | 8118 | 6 | | | 0 | ῆ | 8134 | 26 | ῖ | 8150 | 42 | | | 0 | ῦ | 8166 | 53 | ῶ | 8182 | 41 |
| ἀ | 7936 | 57 | ἐ | 7952 | 69 | ἠ | 7968 | 2 | ἰ | 7984 | 47 | ὀ | 8000 | 3 | ὐ | 8016 | 60 | ὠ | 8032 | 1 |
| ἁ | 7937 | 10 | ἑ | 7953 | 4 | ἡ | 7969 | 10 | ἱ | 7985 | 9 | ὁ | 8001 | 29 | ὑ | 8017 | 19 | ὡ | 8033 | 8 |
| ἂ | 7938 | 6 | ἒ | 7954 | 0 | ἢ | 7970 | 1 | ἲ | 7986 | 0 | ὂ | 8002 | 0 | ὒ | 8018 | 0 | ὢ | 8034 | 0 |
| ἃ | 7939 | 0 | ἓ | 7955 | 0 | ἣ | 7971 | 0 | ἳ | 7987 | 0 | ὃ | 8003 | 1 | ὓ | 8019 | 0 | ὣ | 8035 | 0 |
| ἄ | 7940 | 18 | ἔ | 7956 | 29 | ἤ | 7972 | 2 | ἴ | 7988 | 4 | ὄ | 8004 | 5 | ὔ | 8020 | 2 | ὤ | 8036 | 0 |
| ἅ | 7941 | 1 | ἕ | 7957 | 1 | ἥ | 7973 | 0 | ἵ | 7989 | 16 | ὅ | 8005 | 8 | ὕ | 8021 | 5 | ὥ | 8037 | 1 |
| ἆ | 7942 | 0 | | | 0 | ἦ | 7974 | 2 | ἶ | 7990 | 10 | | | 0 | ὖ | 8022 | 2 | ὦ | 8038 | 0 |
| ἇ | 7943 | 0 | | | 0 | ἧ | 7975 | 0 | ἷ | 7991 | 0 | | | 0 | ὗ | 8023 | 0 | ὧ | 8039 | 0 |
| ᾀ | 8064 | 0 | | | 0 | ᾐ | 8080 | 0 | | | 0 | | | 0 | ῧ | 8167 | 0 | ᾠ | 8096 | 0 |
| ᾁ | 8065 | 0 | | | 0 | ᾑ | 8081 | 0 | | | 0 | | | 0 | ΰ | 8163 | 0 | ᾡ | 8097 | 0 |
| ᾂ | 8066 | 0 | | | 0 | ᾒ | 8082 | 0 | | | 0 | | | 0 | | | 0 | ᾢ | 8098 | 0 |
| ᾃ | 8067 | 0 | | | 0 | ᾓ | 8083 | 0 | | | 0 | | | 0 | | | 0 | ᾣ | 8099 | 0 |
| ᾄ | 8068 | 0 | | | 0 | ᾔ | 8084 | 0 | | | 0 | | | 0 | | | 0 | ᾤ | 8100 | 0 |

| | | | | | | | | | | | | | | | | | | | | |
|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|
| ᾅ | 8069 | 0 | | | 0 | ᾕ | 8085 | 0 | | | 0 | | | 0 | | | 0 | ᾥ | 8101 | 0 |
| ᾆ | 8070 | 0 | | | 0 | ᾖ | 8086 | 2 | | | 0 | | | 0 | | | 0 | ᾦ | 8102 | 0 |
| ᾇ | 8071 | 0 | | | 0 | ᾗ | 8087 | 0 | | | 0 | | | 0 | | | 0 | ᾧ | 8103 | 1 |
| ᾳ | 8115 | 2 | | | 0 | ῃ | 8131 | 24 | | | 0 | | | 0 | | | 0 | ῳ | 8179 | 9 |
| ᾴ | 8116 | 0 | | | 0 | ῄ | 8132 | 0 | | | 0 | | | 0 | | | 0 | ῴ | 8180 | 0 |
| ᾷ | 8119 | 2 | | | 0 | ῇ | 8135 | 10 | | | 0 | | | 0 | | | 0 | ῷ | 8183 | 20 |

Ceterae infrequentes vel rarissimae Litterae expositae non sunt

---

**© 2006 Cooperatorum Veritatis Societas quoad hanc editionem iura omnia asservantur.**
**0345-0407 - Iohannes Chrysostomus - De pharisaeo**
**Verborum Omnium Conspectus: 563Verba, quae repetita sunt in 1,313,661 occasionibus**

---

**ἀβύσσους** [00040]
**ἀγαθῶν** [00069]
**ἀγάπην** [00003]
**ἀγάπης** [00002]
**ἀγαπητικοὺς** [00008]
**ἀγαπητοὶ** [00034] [00056]
**ἀγγέλων** [00035]
**ἅγιον** [00073]
**ἀδόλων** [00063]
**αἱ** [00039] [00049]
**αἴγλην** [00019]
**αἵματι** [00051]
**αἰτῆσαι** [00043] [00043]
**αἰχμάλωτον** [00020]
**αἰχμάλωτος** [00020]
**αἰῶνας** [00075]
**αἰώνων** [00075]
**ἀκούειν** [00002] [00002]
**ἀκτίνων** [00021]
**ἀλήθειαν** [00044]
**ἀλλ** [00014] [00018] [00028] [00028]
**Ἀλλ** [00042]
**ἀλλὰ** [00005] [00015] [00033] [00033] [00068]
**ἁμαρτίαν** [00029]
**ἁμαρτίας** [00074]
**ἁμαρτωλοῦ** [00011]
**ἁμαρτωλοὺς** [00015]
**ἁμαρτωλῷ** [00036]
**ἁμαρτωλῶν** [00006] [00007] [00012]
**Ἀμήν** [00076]
**ἂν** [00036] [00048] [00057]
**ἄν** [00037]
**ἀναλαβὼν** [00003]
**ἀνθίζουσαι** [00049]
**ἄνθος** [00052]
**ἀνθρώπινον** [00003]
**ἄνθρωπον** [00028]
**ἄνθρωπος** [00021] [00028] [00056] [00058]
**ἀνθρωπότητα** [00005]
**ἀνθρωπότητι** [00019]
**ἀνταποκρίθητι** [00013]
**ἀνυποκρίτῳ** [00063]
**ἀξίωμα** [00005] [00020]
**ἀπ** [00010]
**ἀπειλοῦσαν** [00025]
**ἀπέρχεται** [00018]
**ἀποδράσῃ** [00025]
**ἀποθέμενος** [00002]
**ἀποκάλυψιν** [00003]
**ἀπολέσῃ** [00021]
**ἀπολωλός** [00023]
**ἀπόρευτον** [00016]
**ἀπορῶν** [00033]
**ἀποσμήχει** [00069]
**ἀποστρέφεται** [00004]
**ἀργύριον** [00073]
**ἀργύρου** [00064]
**ἄριστα** [00017]
**ἀρίστοις** [00017]
**ἄριστον** [00004] [00006] [00016] [00017] [00018] [00019]
**ἀρνείῳ** [00024]
**ἀρνίον** [00028] [00028]
**ἁρπαγῆς** [00046] [00054]
**Ἄρτι** [00045]
**ἀρτίως** [00004]
**ἄρτων** [00016]
**ἄρχεται** [00002] [00008]
**Ἄρχεται** [00044]
**ἀσκὸν** [00040]
**ἀσκούμενος** [00011]
**ἀστράπτον** [00052]
**αὐτὰς** [00050] [00051]
**αὐτῆς** [00043]

**αὐτοῖς** [00002] [00016]
**αὐτὸν** [00003] [00003] [00017] [00044]
**αὐτοῦ** [00005] [00024] [00036] [00043]
**αὐτῷ** [00029] [00029] [00074]
**αὐτῶν** [00039] [00049] [00050] [00051] [00053]
**ἀφανίζουσιν** [00049]
**ἄφνω** [00019]
**ἀφορμὴν** [00031]

**βακτηρίαν** [00025]
**βασιλέα** [00020]
**βασιλεὺς** [00020] [00028]
**βασιλικὸν** [00020]
**βεβαιώσῃ** [00032]
**Βουλόμενος** [00008]
**βρωμάτων** [00018]

**γαζοφυλάκιον** [00065]
**γὰρ** [00005] [00007] [00008] [00018] [00033] [00037] [00045] [00050] [00056] [00057] [00063] [00068]
**γάρ** [00015]
**γέμει** [00046] [00054]
**γῆν** [00020]
**γινόμενον** [00033]
**γόνασι** [00036]
**γοῦν** [00004]

**δάκρυσιν** [00036]
**δακτύλοις** [00050]
**δὲ** [00031] [00032] [00043] [00046] [00047] [00048] [00051] [00053] [00054] [00055] [00057] [00057]
**δεδωκὼς** [00043]
**δειλιάσαν** [00025]
**δεῖξαι** [00005]
**δέον** [00051]
**δερματίνῳ** [00020]
**Δεσπότην** [00019] [00042]
**Διὰ** [00012] [00055]
**διὰ** [00002] [00003] [00016]
**διαγαγὼν** [00016]
**διαθρέψας** [00016]
**διαπτύειν** [00006]
**διδαγμάτων** [00018]
**διδάξῃ** [00006] [00008]
**διδάσκαλον** [00033]
**δίκαιοι** [00007]
**δικαιοῖ** [00066]
**Δίκαιος** [00015]
**δικαιοσύνης** [00021] [00028]
**δικαίους** [00006] [00015]
**Διὸ** [00009] [00059]
**διορθούμενον** [00034]
**διψῶντος** [00057]
**δόγμα** [00032]
**δοκιμάζει** [00068]
**δοκοῦντες** [00007]
**δόλου** [00046]
**δόξα** [00075]
**δότε** [00060] [00073] [00075]
**δροσίσατε** [00075]
**δυνάμεις** [00039]
**δυναμένων** [00002]
**δύο** [00031] [00066]
**δώσῃ** [00031]

**ἐὰν** [00056] [00058]
**ἐάσας** [00023]
**ἑαυτοῖς** [00007]
**ἑαυτοῦ** [00002] [00002]
**ἐβαπτίσθη** [00030] [00033]
**ἐδικαιώθη** [00067]
**ἔδωκε** [00043]
**ἐθαύμασεν** [00033]
**ἐθεάσατο** [00036]
**ἔθος** [00030]
**Εἰ** [00036]
**Εἶδε** [00033]
**εἴδωλον** [00050]
**εἰμι** [00010] [00015]
**εἶναι** [00007] [00008] [00038]
**εἰπεῖν** [00056]
**εἰρηκὼς** [00042]
**Εἰς** [00001]
**εἰς** [00004] [00006] [00016] [00016] [00017] [00018] [00019] [00019] [00020] [00020] [00021] [00022] [00024] [00028] [00038] [00040] [00065] [00075]
**εἰσελθὼν** [00030]
**Εἰσέρχεται** [00020] [00021] [00022]
**εἰσέρχεται** [00024] [00028] [00029]
**ἐκ** [00002] [00003] [00005] [00008] [00016] [00016] [00019] [00043]
**ἐκδιδάσκων** [00017]
**ἐκείνῃ** [00043]
**ἐκείνης** [00067]
**ἐκκαύσωσιν** [00053]
**ἐκλευκαίνει** [00070]
**ἔκρινε** [00042]
**ἐκφλογίζουσιν** [00053]
**ἔλεγε** [00055]
**Ἔλεγε** [00037]
**ἔλεγεν** [00036]
**ἐλεημοσύνη** [00069] [00070] [00070] [00070]
**ἐλεημοσύνην** [00056] [00060]
**ἐλήλυθε** [00003]
**ἑλκόμενος** [00002]
**ἐλπίδος** [00003]
**ἐμοῦ** [00010]
**ἐμπλησθῇ** [00018]
**ἐμφορηθῇ** [00018]
**ἐν** [00011] [00016] [00017] [00024] [00029] [00040] [00052] [00055] [00075]
**ἐνάγων** [00002]
**ἔνδοθεν** [00035]
**ἔνδον** [00048]

**ἐνενήκοντα** [00023]
**ἐννέα** [00023]
**ἐννοήσας** [00042]
**ἐνόντα** [00060] [00062]
**ἐξ** [00038]
**ἐξαστράπτουσαν** [00019]
**ἕξεως** [00002]
**ἔξω** [00045]
**ἔξωθεν** [00054] [00057] [00058]
**ἐπαινῶν** [00033] [00033]
**ἔπασχεν** [00035]
**ἐπὶ** [00003] [00023] [00023] [00044]
**ἐπιδείξας** [00003]
**ἐπιθυμίαν** [00057]
**ἐπιστρέφειν** [00044]
**ἐπιστρέψω** [00015]
**Επιτρέπετα** [00026] [00072] [00077]
**ἐπιφέρει** [00059]
**ἐπιφέρεται** [00025]
**ἔπλυνεν** [00036]
**ἐποίει** [00031]
**ἐπομβρίσας** [00016]
**ἐργάζονται** [00050]
**ἔργου** [00008]
**ἐρήμῳ** [00016]
**ἐρυθραίνουσαι** [00050]
**ἔρχεται** [00019] [00023]
**ἐσθίεις** [00012]
**ἔσται** [00061]
**ἐστερεώθησαν** [00039]
**ἔσωθεν** [00046] [00054] [00057] [00058]
**ἔτι** [00032]
**Εὐαγγελίου** [00004]
**εὐγλωττίας** [00002]
**εὐλαβείᾳ** [00011]
**ἔχεις** [00064] [00065]
**ἔχῃ** [00048] [00056]
**ἔχον** [00057]
**ἔχοντες** [00014]
**ἔχουσιν** [00014]

**ζητήσῃς** [00064]
**ζωοπλάστην** [00034]
**ζωτικὴ** [00070]

**ἡ** [00041] [00070] [00070] [00070] [00075]
**ἢ** [00050]
**Ἡ** [00069]
**ᾗ** [00048] [00058]
**ἤδη** [00029] [00029]
**ἠκούσαμεν** [00004]
**ἦλθε** [00005]
**Ἥλιος** [00021] [00028]
**ἡμᾶς** [00003] [00003]
**ἡμέραν** [00016]
**ἡμῶν** [00003] [00075]
**ἦν** [00034]
**ἠρέμα** [00044]

**θάλασσαν** [00016]
**θαλάσσης** [00016] [00040]
**θανατηφόρον** [00048]
**θεασάμενος** [00019]
**Θεὸς** [00003] [00028] [00068]
**θεότητα** [00019]
**θεότητος** [00005] [00019]
**θεωρήσας** [00020] [00021]
**θεωρῶν** [00035]
**θησαυρίζει** [00069]
**θησαυροῖς** [00040]
**θρέψῃ** [00058]

**ἰάματα** [00075]
**ἰάσηται** [00057]
**ἰατροῦ** [00014]
**ἰδεῖν** [00034]
**ἴδιον** [00003]
**ἰδίου** [00027]
**ἰδοὺ** [00061]
**Ἰησοῦ** [00051] [00075]
**Ἱλάσθητί** [00036]
**ἱμάτια** [00075]
**ἵνα** [00003] [00006] [00008] [00015] [00018] [00018] [00019] [00020] [00021] [00025] [00029] [00031] [00052] [00053] [00075]
**ἰὸς** [00074]
**Ἰουδαϊκὸν** [00032]
**Ἰσραὴλ** [00016]

**καθάπερ** [00016] [00052]
**καθαρὰ** [00061]
**καιρὸν** [00043]
**κακίζετε** [00047]
**κακῶς** [00014]
**Καλεῖται** [00004] [00006] [00016] [00017] [00019]
**καλέσας** [00019]
**καλὴ** [00070]
**καλλωπίζετε** [00047]
**καλοῦντα** [00004]
**καλοῦντας** [00017]
**καλύπτει** [00020]
**καλύπτων** [00019] [00021] [00024]
**κάμινον** [00075]
**κἂν** [00012] [00056] [00058]
**καρδίᾳ** [00010]
**καρδίας** [00035] [00051] [00051] [00053]
**καταδύσῃ** [00020]
**κατάληψιν** [00002]
**καταλύσῃ** [00032]

**καταξηράνας** [00016]
**καταπτύουσι** [00007]
**καταφράκτῳ** [00020]
**καταχθονίων** [00005]
**κεραμέα** [00034]
**κηρύττοντος** [00004]
**κληθῇς** [00011]
**κλίμακα** [00003]
**κόρον** [00016]
**κράτος** [00075]
**κρινόμενον** [00034]
**κρίνῳ** [00052]
**κρίνων** [00033]
**κρυπτοῖς** [00035]
**Κύριον** [00058] [00071]
**Κύριος** [00003] [00008] [00016] [00017] [00043] [00044] [00059]
**Κυρίου** [00018]
**Κυρίῳ** [00075]

**λάβετε** [00071] [00073]
**λάβητε** [00075]
**λαλεῖν** [00031]
**λαμπηδόνας** [00021]
**λαμπρότητος** [00016]
**λέγει** [00009] [00059] [00062]
**λέγειν** [00002]
**λέγοντος** [00012]
**λέγων** [00013]
**λεπτὰ** [00066]
**λευκαίνειν** [00051]
**λόγον** [00003]
**Λόγος** [00003]
**λόγῳ** [00039]
**λούετε** [00055] [00055]

**Μάθετε** [00010]
**μαθημάτων** [00017]
**μᾶλλον** [00051]
**μάνδραν** [00024]
**μανίαν** [00053]
**μάννα** [00016] [00016]
**μείζονα** [00002]
**μελλούσης** [00050]
**μεμιγμένον** [00052]
**μὲν** [00047] [00055]
**μισθοὺς** [00069]
**Μνήσθητι** [00067]
**μοι** [00036]

**νεφέλῃ** [00021]
**νέων** [00053]
**νηπιῶδες** [00002]
**νηπίων** [00002]
**Νῦν** [00053] [00054]
**νῦν** [00047]

**ὁ** [00002] [00003] [00008] [00011] [00016] [00016] [00016] [00016] [00017] [00018] [00019] [00020] [00020] [00021] [00021] [00022] [00033] [00035] [00043] [00044] [00059] [00064] [00074]
**ὃ** [00065]
**Ὁ** [00068]
**ὁδηγήσῃ** [00003]
**οἱ** [00007] [00014] [00014] [00039] [00045] [00054]
**οἶδε** [00068]
**οἰκείας** [00002]
**οἰκείοις** [00050]
**οἶκον** [00019] [00020] [00021] [00022] [00028]
**οἴκου** [00019]
**οἰκουμένη** [00041]
**ὅλην** [00016]
**ὁλκάδας** [00064]
**ὁμιλεῖν** [00003]
**ὁμιλία** [00001]
**ὁμοίως** [00057]
**ὀνειδίζῃ** [00012]
**ὄντων** [00002] [00038]
**ὁπόταν** [00011]
**ὅρασιν** [00021]
**ὀρέων** [00023]
**ὅσον** [00063]
**ὅταν** [00048]
**ὅτι** [00010] [00033] [00064] [00067]
**Οὐ** [00014] [00025]
**οὐ** [00005] [00006] [00016] [00017] [00025] [00033] [00055] [00058] [00063]
**οὐδὲν** [00042] [00056]
**οὐκ** [00004] [00030] [00033] [00033] [00038] [00057] [00064] [00068]
**οὖν** [00011] [00044]
**οὐράνιον** [00003] [00003] [00020] [00043]
**οὐράνιος** [00020] [00022]
**οὐρανόθεν** [00016]
**οὐρανοὶ** [00039]
**οὔτε** [00042] [00042]
**οὕτω** [00058]
**οὐχ** [00015] [00018] [00028] [00028] [00028]
**Οὐχὶ** [00049]
**οὐχὶ** [00050]
**ὀφθαλμοῖς** [00035]
**ὄψεις** [00049] [00050] [00053]

**παιδεύσῃ** [00006]
**πάλιν** [00025]
**πάντα** [00038] [00061]
**πάντας** [00008]
**παρ** [00007] [00043] [00043]
**παραγαγών** [00038]
**παραιτεῖται** [00006] [00016] [00017]
**παραιτήσῃ** [00011]
**παῤῥησία** [00070]

**πᾶσα** [00041]
**πατὴρ** [00002] [00002]
**πεδίου** [00016]
**πένης** [00064]
**πενήτων** [00006] [00007]
**πέντε** [00016] [00016]
**πεπλυμένος** [00058]
**πεπτωκότα** [00029]
**πεπτωκότι** [00029]
**πεπτωκυῖαν** [00005]
**περὶ** [00003]
**πηλοῦ** [00034]
**πινάκιον** [00057]
**πίνακος** [00045] [00054]
**πίνεις** [00012]
**πλάνην** [00025]
**πλάνης** [00044]
**πλάσμα** [00003]
**πλάσματος** [00034]
**Πλὴν** [00060] [00062]
**πλούσιοι** [00007]
**πλουσίους** [00006]
**πλυθὲν** [00057]
**πλύνετε** [00045] [00054]
**πλύνῃ** [00056]
**πνεῦμα** [00056]
**πνεύματι** [00039] [00051] [00055]
**πνευματικόν** [00032]
**πόδας** [00036]
**ποιῆσαι** [00008]
**ποιμένα** [00024] [00031]
**ποιμήν** [00022]
**ποιμνίου** [00027]
**πολλὴν** [00003]
**Πολλοὶ** [00007]
**πολυχρύσους** [00067]
**πολυχρύσων** [00063]
**πονηρίας** [00054]
**πόρναι** [00049]
**ποτήριον** [00048] [00057]
**ποτηρίου** [00045] [00054]
**ποτὸν** [00057]
**ποτόν** [00048]
**πρᾶός** [00010]
**πρόβατα** [00023]
**πρόβατον** [00025] [00044]
**προβάτῳ** [00031]
**πρὸς** [00002] [00003] [00020] [00028] [00028] [00031] [00053]
**προσέπεσεν** [00036]
**προσκομιδῇ** [00063]
**προσομιλεῖν** [00002]
**προσφορᾷ** [00063]
**προτέραν** [00025]
**πρόφασιν** [00043]
**πρῶτον** [00033]
**πρῶτος** [00008]
**πταίσματα** [00055]
**πτοηθὲν** [00025]
**Πῶς** [00048]

**ῥάβδον** [00025]
**ῥαντίζειν** [00051]
**ῥημάτων** [00002] [00002]
**Ῥίψατε** [00071]
**ῥῖψον** [00065]
**ῥοδίζειν** [00051]
**ῥόδον** [00052]
**ῥύσασθαι** [00005]

**Σαμαρείτιδι** [00043]
**σαρκὸς** [00020]
**σκορπίσατε** [00074]
**σοῦ** [00041]
**σπίλους** [00069]
**σταθμίζειν** [00068]
**στρατηγία** [00070]
**Σὺ** [00011] [00038] [00040]
**σὺ** [00064]
**συγκαθέζεται** [00029]
**συνάγεις** [00040]
**συναναπεσεῖν** [00029]
**συναναπίπτει** [00029]
**συνανεγείρῃ** [00029]
**Συνδιαιτᾶται** [00029]
**συνδιατρίβειν** [00003]
**σύνδουλον** [00058]
**σύνδρομον** [00056]
**συνείδησιν** [00068]
**συνεξελεύσεται** [00074]
**συνεργὸν** [00056]
**συνέστησαν** [00039]
**συννέμεται** [00029]
**σῷ** [00039] [00039]
**σῶμα** [00047] [00055] [00056]
**σώματος** [00021] [00024]
**σώσω** [00015]

**τὰ** [00017] [00023] [00038] [00055] [00060] [00062]
**ταξίαρχον** [00035]
**ταπεινὸς** [00010]
**ταπεινόφρονας** [00008]
**τὰς** [00021] [00047] [00049] [00049] [00050] [00051] [00051] [00053] [00053] [00070]
**τελείων** [00002]
**τέρπεται** [00063]
**τέρψει** [00058]
**τέρψῃ** [00048]
**τῇ** [00010] [00016] [00021] [00043] [00063] [00063]
**τὴν** [00002] [00003] [00003] [00005] [00016] [00016] [00019] [00019] [00021] [00024] [00025] [00029] [00044] [00056] [00057] [00075]
**τῆς** [00002] [00002] [00002] [00003] [00005] [00016] [00016] [00019] [00020] [00021] [00035] [00044] [00050] [00052] [00067] [00074]
**τί** [00012] [00055]

**τιθεὶς** [00040]
**τινος** [00011] [00012]
**τὸ** [00002] [00002] [00003] [00005] [00016] [00020] [00023] [00025] [00030] [00033] [00038] [00043] [00044] [00045] [00046] [00047] [00048] [00052] [00054] [00054] [00055] [00056] [00065] [00067] [00073] [00075]
**τοιαῦται** [00049]
**τοῖς** [00002] [00017] [00035] [00036] [00036] [00049]
**Τολμῶ** [00056]
**τὸν** [00001] [00003] [00004] [00016] [00019] [00020] [00020] [00020] [00021] [00022] [00024] [00028] [00029] [00031] [00033] [00034] [00034] [00035] [00042] [00058] [00058]
**τοσάσδε** [00064]
**τοῦ** [00002] [00003] [00004] [00008] [00008] [00016] [00018] [00019] [00019] [00020] [00021] [00021] [00022] [00024] [00025] [00028] [00034] [00034] [00043] [00043] [00045] [00045] [00051] [00054] [00054] [00057]
**τοὺς** [00002] [00017] [00036] [00067] [00075]
**τουτέστιν** [00003] [00047]
**Τοῦτο** [00031] [00035]
**τοῦτον** [00036]
**τούτων** [00042]
**τραπέζας** [00006] [00006] [00007]
**τρομάξῃ** [00020]
**τρόπον** [00003]
**τρόπους** [00031]
**τροχαλὸν** [00002]
**τῷ** [00020] [00024] [00029] [00029] [00031] [00036] [00039] [00039] [00039] [00051] [00051] [00055] [00075]
**τῶν** [00005] [00007] [00017] [00018] [00018] [00021] [00023] [00030] [00035] [00053] [00063] [00063] [00075]

**ὑγιαίνοντες** [00014]
**ὕδατα** [00040]
**ὕδατι** [00055]
**ὕδωρ** [00043] [00043]
**ὑμεῖς** [00045] [00054]
**Ὑμεῖς** [00047]
**ὑμῖν** [00061]
**ὑμῶν** [00054]
**ὑπαλλάξας** [00002]
**ὑπάρχῃ** [00052]
**ὑπάρχων** [00003]
**ὑπὲρ** [00029] [00067]
**ὑπερορᾶν** [00006]
**ὑπὸ** [00002] [00004] [00006] [00034] [00034]
**ὑπό** [00011] [00012]
**ὑποδέχεσθαι** [00050]

**Φαρισαῖοι** [00045] [00054]
**Φαρισαῖον** [00001]
**Φαρισαῖος** [00018] [00033] [00035]
**Φαρισαίου** [00004] [00006] [00018] [00019] [00020] [00021] [00022] [00028]
**Φαρισαίων** [00030]
**φησὶν** [00033]
**φιλαδέλφους** [00008]
**φιλότεκνος** [00002]
**φιλτάτοις** [00002]
**φιλτάτους** [00002] [00008]
**φλογὸς** [00050]
**φοβεῖται** [00041]
**φοίνικι** [00050]
**φύγῃ** [00019]
**φωνὴν** [00002]

**χαλκὸν** [00074]
**χειραγωγεῖν** [00044]
**χήρας** [00067]
**χιλιάδας** [00016]
**χιόνας** [00016]
**χλοηφόρου** [00016]
**χορηγία** [00070]
**χρείαν** [00014]
**χρήματα** [00068]
**Χριστῷ** [00075]
**χρυσαυγαζούσας** [00021]
**χρυσὸν** [00064] [00071]
**χρυσοῦν** [00048]
**χρώμασιν** [00049]

**ψελλίζειν** [00002]
**ψυχὰς** [00047] [00049] [00070]
**ψυχῆς** [00052] [00070] [00070]
**ψυχῶν** [00069]

**ᾧ** [00075]
**ὡς** [00004] [00028] [00028] [00028] [00028] [00028] [00040]
**ὡσανεὶ** [00055]
**ὥσπερ** [00043]
**Ὥσπερ** [00002] [00057]
**ὠφεληθήσεται** [00056]